**Ενδεικτική βιβλιογραφία**


- Swoboda, H., Die griechischen Volksbeschlüsse: Epigraphische Untersuchungen (1890)
- Müller, H., Milesische Volksbeschlüsse (1976)
- Henry, A., The Prescripts of Athenian Decrees (1977)
- Meyer, M., Die griechischen Urkundenreliefs. AM 13 (1989)
- Rhodes, P. J. – Lewis, D. M., The Decrees of the Greek States (1997)
- Λαγογιάννη-Γεωργακαράκου, Μ. – Μπουραζέλης, Κ. (επιμ.), «Ἔδοξεν τῆι βουλῆι καὶ τῶι δήμωι». Η Αθηναϊκή δημοκρατία μιλάει με τις επιγραφές της (Αθήνα 2007)

# Η σημασία των ψηφισμάτων

- Σημαντικές πληροφορίες για τους θεσμούς και το πολίτευμα μιας πόλης και την εξέλιξη τους.
- Σημαντικές πληροφορίες για την εσωτερική και εξωτερική πολιτική, για οικονομικά, κοινωνικά και θρησκευτικά θέματα και γενικά για ό,τι απασχολούσε τον φορέα έκδοσης του ψηφίσματος.
- Τα ψηφίσματα είναι οι μοναδικές μαρτυρίες που έχουμε για τη δομή και τους θεσμούς των πόλεων για τις οποίες δεν διαθέτουμε φιλολογικές μαρτυρίες.

# Βασικά χαρακτηριστικά των ψηφισμάτων

- Είναι δημόσια έγγραφα νομικού περιεχομένου με σταθερή δομή και τυποποιημένες επαναλαμβανόμενες εκφράσεις.
- Όλα όσα περιλαμβάνονται στα ψηφίσματα, ακόμη κι αν δεν σχετίζονται άμεσα με το θέμα του εκάστοτε ψηφίσματος, εκπληρώνουν συγκεκριμένο σκοπό και συνδέονται συνήθως με την κατοχύρωση της εγκυρότητας της διαδικασίας και του επίσημου δημόσιου εγγράφου που προέκυψε από αυτήν.
- Το ίδιο κείμενο μας δίνει πληροφορίες για τις διαδικασίες που ακολουθήθηκαν για την πρόταση, ψήφιση ή συμπλήρωση/μετατροπή του ψηφίσματος.
- Μεταβολές/αποκλίσεις στις διατυπώσεις αντικατοπτρίζουν ενίοτε μεταβολές/αποκλίσεις στις διαδικασίες και σε κάποιες περιπτώσεις στο πολίτευμα.

# Φορείς έκδοσης ψηφισμάτων

- Πόλεις
- Πολιτικές ομοσπονδίες (Κοινόν Βοιωτών, Κοινόν Αιτωλών, Αχαϊκή Συμπολιτεία κλπ.)
- Θρησκευτικές ομοσπονδίες (Δελφική Αμφικτυονία)
- Υποδιαιρέσεις του πολιτικού σώματος (φυλές, γένη, φρατρίες, δήμοι)
- Σωματεία, θρησκευτικοί και άλλου τύπου σύλλογοι

# Είδη ψηφισμάτων των πόλεων με κριτήριο το περιεχόμενο

1. Τιμητικά ψηφίσματα για πολίτες και μη πολίτες: χορήγηση δικαιωμάτων πολίτη, προξενικά ψηφίσματα, χορήγηση προνομίων και τιμών.
2. Συνθήκες ειρήνης/συμμαχίας μεταξύ πόλεων. Καθορισμός συνόρων, διευθέτηση συνοριακών διαφορών από διαιτητές εγκεκριμένη από τους ενδιαφερόμενους.
3. Ψηφίσματα με στόχο τη διατήρηση του πολιτεύ-ματος.
4. Αναγνωρίσεις ασυλίας πόλεων και ιερών, αναγνωρίσεις του πανελλήνιου χαρακτήρα γιορτών και περιόδων εκεχειρίας.
5. Ρυθμίσεις για θέματα θρησκευτικά (ιεροί νόμοι).
6. Ρυθμίσεις για ζητήματα κοινής ωφέλειας: οικοδομικά προγράμματα, υδροδότηση, στρατιωτικές εκστρατείες.

# Ενδεικτική δομή ψηφίσματος

1. Επίκληση θεών (όχι σε όλα τα ψηφίσματα)
2. Κεφαλίδα (όχι σε όλα τα ψηφίσματα)
3. Προοίμιο
4. Έκφραση επικύρωσης
5. Όνομα εισηγητή/προτείνοντος (rogator)
6. Σκεπτικό/αιτιολογία + σκοπιμότητα της απόφασης
7. Κυρίως απόφαση
8. Οδηγίες για την αναγραφή του ψηφίσματος (όχι σε όλα τα ψηφίσματα)
9. Τροπολογίες
10. Αναγορεύσεις ή άλλες επιγραφές εντός του ψηφίσματος (κυρίως στα τιμητικά ψηφίσματα)

# *IG* I$^3$ 110, 408/7 π.Χ.

θεοί·
ἔδοξεν τῆι βολῆι καὶ τῶι δήμ-
ωι· Ἀντιοχὶς ἐπρυτάνευε, Εὐκ-
λείδης ἐγραμμάτευε, Ἱεροκλ-
ῆς ἐπεστάτε, Εὐκτήμων ἦρχε v
Διειτρέφης εἶπε· ἐπειδὴ ἀνή-
ρ ἐστι ἀγαθὸς Οἰνιάδης ὁ Παλ-
αισκιάθιος περὶ τὴν πόλιν τ-
ὴν Ἀθηναίων καὶ πρόθυμος πο-
ιε͂ν ὅ τι δύναται ἀγαθόν, καὶ ε-
ὖ ποιε͂ι τὸν ἀφικνόμενον Ἀθη-
ναίων ἐσκίαθον, ἐπαινέσαι τ-
ε αὐτῶι καὶ ἀναγράψαι αὐτὸν

πρόξενον καὶ εὐεργέτην Ἀθη-
ναίων καὶ τὸς ἐκγόνος αὐτο͂, κ-
αὶ ὅπως ἂν μὴ ἀδικῆται ἐπιμέ-
λεσθαι τήν τε βολὴν τὴν ἀεὶ β-
ολεύοσαν καὶ τοὺς στρατηγ-
ὸς καὶ τὸν ἄρχοντα τὸν ἐν Σκι-
άθωι ὃς ἂν ἦι ἑκάστοτε· τὸ δὲ ψ-
ήφισμα τόδε ἀναγράψαι τὸν γ-
ραμματέα τῆς βολῆς ἐν στήλη-
ι λιθίνηι καὶ καταθε͂ναι ἐμ π-
όλει. καλέσαι δὲ αὐτὸν καὶ ἐπ-
ὶ ξένια ἐς τὸ πρυτανεῖον ἐς α-
ὔριον v Ἀντιχάρης εἶπε· τὰ μὲ-
ν̣ ἄλλα καθάπερ τῆι βολῆι, ἐς δ-
[ὲ τ]ὴ̣γ γνώμην μεταγράψαι ἀντ-
[ὶ το͂ "Σ]κιαθίο", ὅπως ἂν ἦι γεγρα-
[μμένο]ν, "Οἰνιάδην τὸν Παλαισ-
[κιάθιον"].

# *I.Ephesos* 1460 (3ος αι. π.Χ.)

ἔδοξεν τῆι βουλῆι καὶ τῶι δήμωι· Ἐπικ[ράτ]ης εἶπεν· ἐπειδὴ Ἀντιφῶν Ἀντιμένοντος Ἱστιαι-
ε<ὺς> πρόθυμος ὢν εἰς τὸν δῆμον τὸν Ἐφε[σί]ων καταστὰς εἰς τὴν βουλὴν καὶ τὸν δῆμον
αἰτεῖται πολιτείαν, δεδόχθαι τῆι βουλῆ[ι κ]αὶ τῶι δήμωι, δοῦναι αὐτῶι πολιτείαν ἐφ' ἴσηι
καὶ ὁμοίηι, ἐπικληρῶσαι δὲ αὐτὸν καὶ εἰς φυλὴν καὶ χιλιαστύν, καὶ ἀναγράψαι ὅπου καὶ αἱ λοιπαὶ
πολιτεῖαι ἀναγεγραμμέναι εἰσί. ἔλαχε φυλὴν Ἐφεσεύς, χιλιαστὺν Ἀργαδεύς.

# Είδη αττικών ψηφισμάτων με κριτήριο τη διαδικασία

- 1. <u>Προβουλευματικά ψηφίσματα</u> : η εκκλησία του δήμου υιοθετεί το προβούλευμα κατά λέξη (*ἔδοξεν τῆι βουλῆι καὶ τῶι δήμωι* / *δεδόχθαι ή ἐψηφίσθαι τῆι βουλῆι καὶ τῶι δήμωι* / *δεδόχθαι τῆι βουλῆι τοὺς προέδρους οἵ ἄν τυγχάνωσι προεδρεύοντες ἐν τῶι δήμωι χρηματίσαι περὶ* X / *γνώμην δὲ ξυμβάλλεσθαι τῆς βουλῆς εἰς τὸν δῆμον ὅτι δοκεῖ τῆι βουλῆι*).
- 2. <u>Μη προβουλευματικά ψηφίσματα</u> : μετά από συζήτηση η εκκλησία του δήμου απορρίπτει ή διορθώνει εκτενώς το προβούλευμα στήνοντας στην ουσία ένα νέο ψήφισμα (*ἔδοξεν τῶι δήμωι* / *δεδόχθαι ή ἐψήφισθαι τῶι δήμωι*).
- 3. <u>Ψηφίσματα της βουλής</u> σε θέματα δικαιοδοσίας της (*ἔδοξεν τῆι βουλῆι* / *δεδόχθαι ή ἐψήφισθαι τῆι βουλῆι*).
- 4. <u>Προβούλευμα κατά παραγγελία του δήμου</u> : το προβούλευμα έχει κατά κάποιον τρόπο ήδη την έγκριση του δήμου (*ἐπειδὴ ὁ δῆμος προσέταξεν τῆι βουλῆι προβουλεύσασαν ἐξενεγκεῖν εἰς τὸν δῆμον περὶ* …).

# *IG* II$^3$ 309 = II$^2$ 228 (349/8 π.Χ.)

[ἐπ]ὶ Νικομάχου ἄρχο[ντος ἐπὶ τῆς]
[Π]ανδιονίδος ἑβδόμης [πρυτανεί]-
[α]ς, ἐνάτηι καὶ εἰκοστῆι τῆς πρ[υτ]-
ανείας· τῶν προέδρων ἐπεψήφιζ[ε]-
ν Ἀριστόμαχος ἐξ Οἴου, Ὀνήσιππο-
ς Ἀραφήνιος ἐγραμμάτευεν· **ἔδοξ-
εν τῶι δήμωι·** Ἱππόστρατος Ἐτεαρ-
χίδου Παλληνεὺς εἶπεν· εἶναι κα-
ὶ τοῖς Ἐλαιουσίοις τὰ αὐτὰ ἅπ[ερ]

ὁ δῆμος ἐψήφισται τοῖς Χερρ[ονη]-
σίταις, τὸν δὲ στρατηγὸν Χά[ρητα]
ἐπιμεληθῆναι αὐτῶν ἐν τῶι [τρόπ]-
ωι τῶι αὐτῶι, ὅπως ἂν ἔχοντε[ς Ἐλα]
ιούσιοι τὰ ἑαυτῶν ὀρθῶς κ[αὶ δικ]-
αίως οἰκῶσιν μετὰ Ἀθηναί[ων
ἐν Χ]-
ερρονήσωι. καὶ καλέσαι το[ὺςἘλα]-
ιουσίους ἐπὶ δεῖπνον εἰς [τὸ πρυ]-
τανεῖον εἰς αὔριον.

# *IG* II$^2$ 1046, 52/1 π.Χ.

**ἀγαθῆι τύχῃ τῆς βουλῆς καὶ τοῦ δήμου τοῦ Ἀθηναίων**· ἐπὶ Λυ-σάνδρου τοῦ Ἀπολήξιδος ἄρχοντος, ἐπὶ τῆς Πανδιονίδος δωδεκάτης πρυτανείας, ἧι Γάϊος Γαΐου Ἁλαιεὺς ἐγραμμά-τευεν· Σκιροφοριῶνος ὀγδόηι μετ᾽ ἰκάδας, τρίτηι καὶ εἰκοστῇ τῆς πρυτανείας· βουλὴ ἐν βουλευτηρίωι· τῶν προέδρων ἐπεψήφιζεν Θεάνγελος Θεανγέλου Αἰθαλίδης καὶ συν-πρόεδροι· **ἔδοξεν τῇ βουλῇ**· Μενίσκος Φιλοκλέους Κολωι-νῆθεν εἶπεν· v ἐπειδὴ **πρόσοδον ποιησάμενος πρὸς τὴν βουλὴν** ὁ εἰληχὼς ἱερεὺς Ἀσκληπιοῦ καὶ Ὑγείας εἰς τὸν με-τὰ Λύσανδρον ἄρχοντα ἐνιαυτὸν Διοκλῆς Διοκλέους Κηφι-σιεὺς νεώτερος ἐνφανίζει τὰ θυρώματα διεφθάρθαι τῆς πρό-τερον οὔσης εἰς τὸ ἱερὸν εἰσόδου, ὁμοίως δὲ καὶ τὴ̣ν ὀπίσω τοῦ προπύλου στέγην, ἔτι δὲ καὶ τὸν ναὸν τοῦ ἀρχαίου ἀφι-δρύματος τοῦ τε Ἀσκληπιοῦ καὶ τῆς Ὑγιείας **καὶ διὰ τοῦτο παρα-καλεῖ τὴν βουλὴν** ἐπιχωρῆσαι ἑατῶι κατασκευάσαντι ἐκ τῶν ἰδίων θυρῶσαι τὸ ἀρχαῖον πρόπυλον, στεγάσαι δὲ καὶ τοῦ προπύλου τὸ ὀπίσωι μέρος καὶ τὸν ναὸν τὸν ἀπέναντι τῆ[ς] εἰσόδου χάριν τοῦ τὴν ἀρχαίαν ἀποδοθῆναι τῶι ἱερῷ τάξιν· vv

ἀγαθῇ **τύχῃ δεδόχθαι τῇ βουλῆι** ἐπικεχωρῆσθαι Διοκλῆι Διοκλέους Κηφισιεῖ νεωτέρωι ποιήσασθαι τὴν ἀνάθεσιν τῶν θυρωμάτων καὶ στεγάσαι τοῦ προπύλου τὸ ὀπίσωι μέρος, κατασκευάσα[ι] δὲ καὶ τὸν ἀρχαῖον <ναὸν> καθάπερ παρακαλεῖ καὶ ποιήσασθαι τὴν ἐπ[ι]γραφὴν ἐπὶ μὲν τῶν θυρῶν καὶ τῆς στέγης τήνδε· vv Διοκλῆ[ς] Διοκλέους Κηφισιεὺς νεώτερος ἱερεὺς γενόμενος ἐν τῶι ἐπὶ Λυσιάδου ἄρχοντος ἐνιαυτῶι τὰ θυρώματα καὶ τὴν ὀπίσωι τοῦ προπύλου στέγην Ἀσκληπιῶι καὶ Ὑγιείᾳ καὶ τῶι δήμωι ἀνέθηκεν· ἐπὶ δὲ τοῦ ναοῦ ὁμοίως· Διοκλῆς Διοκλέους Κηφισιεὺς νεώιτερος ἱερεὺς γενόμενος ἐν τῶι ἐπὶ Λυσιάδου ἄρχοντος ἐνιαυτῶι τὸν ναὸν κατασκευάσας ἐκ τῶν ἰδίων Ἀσκληπιῶι καὶ Ὑγιείᾳ καὶ τῶι <δήμωι> ἀνέθηκεν· ἵνα τούτων συντελουμένων εὐσεβῶς μὲ̣ν̣ ἡ βουλὴι τὰ πρὸς τὸ θεῖον ἔχη[ι], γίνωνται δὲ καί ἕτεροι ζηλωιταὶ τῶν ὁμοίων.

# FD III 4, 34, 79 μ.Χ.

θεός. τύχαι ἀγαθᾷ. Δελφοὶ ἔδωκαν Μ. Τουρρανίῳ Ἑρμονείκῳ Πουτιολανῷ, κιθαρῳδῷ, **νεικήσαντι Πύθια ἐνδόξως**, πολειτείαν, αὐτῷ καὶ ἐκγόνοις, προμαντείαν, προξενίαν, προδικίαν, ἀσυλίαν, προεδρίαν, ἀτέλειαν, γᾶς καὶ οἰκίας ἔνκτησιν, καὶ τἆλλα τείμια ὅσα τοῖς καλοῖς κἀγαθοῖς ἀνδράσιν δίδοται. ἄρχοντος Τίτου Καίσαρος Σεβαστοῦ, βουλευόντων Ἀγάθωνος κα[ὶ] Ἀντιγόνου.